οὔτε λίαν πάρεγγυς ἔστι. πολλὴν γὰρ ἔχει δυσχέρειαν. ἥ τε γὰρ αἰδὼς ἧττον ὑπάρχει τοῖς τοιούτοις, ὡς παρ' ἡλικιώταις, καὶ περὶ τὴν οἰκονομίαν ἐγκληματικὸν τὸ πάρεγγυς. ἔτι δ', ὅθεν ἀρχόμενοι δεῦρο μετέβημεν, ὅπως τὰ σώματα τῶν γεννωμένων ὑπάρχῃ πρὸς τὴν τοῦ νομοθέτου βούλησιν. σχεδὸν δὴ πάντα ταῦτα συμβαίνει κατὰ μίαν ἐπιμέλειαν. ἐπεὶ γὰρ ὥρισται τέλος τῆς γεννήσεως, ὡς ἐπὶ τὸ πλεῖστον εἰπεῖν, ἀνδράσι μὲν, ὁ τῶν ἑβδομήκοντα ἐτῶν ἀριθμὸς ἔσχατος, πεντήκοντα δὲ γυναιξί, δεῖ τὴν ἀρχὴν τῆς συζεύξεως κατὰ τὴν ἡλικίαν εἰς τοὺς χρόνους καταβαίνειν τούτοις. ἔστι δ' ὁ τῶν νέων συνδυασμὸς φαῦλος πρὸς τεκνοποιίαν. ἐν γὰρ πᾶσι ζῴοις ἀτελῆ τὰ τῶν νέων ἔγγονα, καὶ θηλυτόκα μᾶλλον, καὶ μικρὰ τὴν μορφήν. ὥστ' ἀναγκαῖον ταὐτὸ τοῦτο συμβαίνειν καὶ ἐπὶ τῶν ἀνθρώπων. τεκμήριον δέ. ἐν ὅσαις γὰρ τῶν πόλεων ἐπιχωριάζεται τὸ νέους συζευγνύναι καὶ νέας, ἀτελεῖς καὶ μικροὶ τὰ σώματά εἰσιν. ἔτι δὲ ἐν τοῖς τόκοις αἱ νέαι πονοῦσί τε μᾶλλον καὶ διαφθείρονται πλείους. διὸ καὶ τὸν χρησμὸν γενέσθαι τινές φασι διὰ τοιαύτην αἰτίαν τοῖς Τροιζηνίοις, ὡς πολλῶν διαφθειρομένων διὰ τὸ γαμίσκεσθαι τὰς νεωτέρας, ἀλλ' οὐ πρὸς τὴν τῶν καρπῶν κομιδήν. ἔτι δὲ καὶ πρὸς σωφροσύνην συμφέρει τὰς ἐκδόσεις ποιεῖσθαι πρεσβυτέραις· ἀκολαστότεραι γὰρ εἶναι δοκοῦσι νέαι χρησάμεναι ταῖς συνουσίαις. καὶ τὰ τῶν ἀρρένων δὲ σώματα βλάπτεσθαι δοκεῖ πρὸς τὴν αὔξησιν, ἐὰν ἔτι τοῦ σπέρματος αὐξανομένου ποιῶνται τὴν συνουσίαν. καὶ γὰρ τούτου τις ὡρισμένος χρόνος, ὃν οὐχ ὑπερβαίνει πληθύον ἔτι. διὸ τὰς μὲν ἁρμόττει περὶ τὴν ὀκτωκαίδεκα ἐτῶν ἡλικίαν συζευγνύναι, τοὺς δ' ἑπτὰ καὶ τριάκοντα, ἢ μικρόν. ἐν τοσούτῳ γὰρ ἀκμάζουσί τε τοῖς σώμασι σύζευξις ἔσται, καὶ πρὸς τὴν παῦλαν τῆς τεκνοποιίας συγκαταβήσεται τοῖς χρόνοις εὐκαίρως. ἔτι δὲ ἡ διαδοχὴ τῶν τέκνων, τοῖς μὲν ἀρχομένης ἔσται τῆς ἀκμῆς, ἐὰν γίγνηται κατὰ λόγον εὐθὺς ἡ γένεσις· τοῖς δὲ ἤδη καταλελυμένης τῆς ἡλικίας πρὸς τὸν τῶν ἑβδομήκοντα ἐτῶν ἀριθμόν. περὶ μὲν οὖν τοῦ πότε δεῖ ποιεῖσθαι τὴν σύζευξιν, εἴρηται. τοῖς δὲ περὶ τὴν ὥραν χρόνοις, δεῖ χρῆσθαι, οἷς οἱ πολλοὶ χρῶνται καλῶς καὶ νῦν, ὁρίσαντες χειμῶνος τὴν συναυλίαν ποιεῖσθαι ταύτην. δεῖ δὴ καὶ αὐτοὺς ἤδη θεωρεῖν πρὸς τὴν τεκνοποιίαν

A habet enim hoc turbationem non paruam: cùm neque tanta sit reuerentia huiusmodi filij erga genitores, vtpote quasi æqualibus, & circa gubernationem domus querelæ ex ista quasi paritate soleant prouenire. Insuper, quod dicere incipientes huc digressi fuimus, vt corpora natorum sint secundum legis positoris voluntatem, ferè quidem hæc omnia proueniet per vnam diligentiam. Nam cùm sit finis gignendi, vt plurimum viris quidem septuagesimus annus, mulieribus autem
B quinquagesimus: ita coniugandi ab initio sunt, vt ætatibus ad hunc finem concurrant. Est autem adolescentium coniunctio improba ad filiorum procreationem. in cunctis enim animalibus iuueniles partus imperfecti sunt, & fœminæ crebrius quàm mares, & parua corporis forma giguntur, quocirca necesse est hoc idem in hominibus prouenire. Huius autem
C coniectura fuerit, quòd in quibuscunque ciuitatibus consuetudo est adolescentes mares puellásque coniugari, in eisdem inutilia ac pusilla hominum corpora existunt, in partu quoque laborant magis puellæ, ac pereunt plures. Ex quo responsum oraculi Trœzeniis datum quidam existimant, ob istam causam, quasi multis pereuntibus propter immaturitatem nuptiarum, non propter fructuum colle-
D ctionem. Ad continentiam quoque vtile est nuptias fieri seriores. intemperatiores enim esse videntur, cùm puellæ veneri assuescunt. At masculorum corpora crescere impediuntur, si adhuc augente semine consuetudinem ineant. nam huius terminus quispiam esse videtur, quem non multo excedit amplius. Quapropter puellas quidē circa ætatem decem & octo annorum nuptui tradere congruit, ma-
E sculos autem circiter ætatem annorum septem & triginta. in hoc enim tempore, & vigentibus corporibus coniungentur, ac procedente tempore simul aptè desinent procreare posse, & filiorum susceptio partim erit ab initio eis ætate vigentibus adhuc, si rectè procedat statim generatio: partim iam vergentibus ad annum septuagesimum. Quibus igitur ætatibus coniugia sint facienda di-
F ctum sit. Tempus autem anni, vt nunc multi obseruant, rectè per hyemem aptius ad nuptias esse videtur, sed consideranda sunt in procreatione liberorum,